**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 8 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=5

V. 167-185

οἴμοι, πάλιν τις οὑτοσὶ πρὸς ταῖς θύραις
ἕστηκεν ἡμῶν. **ΣΩ.** ἆρα τυπτήσει γέ με;
**ΚΝ.** ἐρημίας οὐκ ἔστιν οὐδαμοῦ τυχεῖν,
οὐδ᾽ ἂν ἀπάγξασθαί τις ἐπιθυμῶν τύχῃ.
**ΣΩ.** ἐμοὶ χαλεπαίνει; περιμένω, πάτερ, τινὰ
ἐνταῦθα· συνεθέμην γάρ. **(ΚΝ.)** οὐκ ἐγὼ ᾽λεγον;
τουτὶ στοὰν νενομίκατ᾽ ἢ τὸ τοῦ Λεώ;
πρὸς τὰς ἐμὰς θύρας, ἐὰν ἰδεῖν τινα
βούλησθε, συντάττεσθ᾽ ἀπαντᾶν· παντελῶς,
καὶ θῶκον οἰκοδομήσατ᾽, ἂν ἔχητε νοῦν,
μᾶλλον δὲ καὶ συνέδριον. ὢ τάλας ἐγώ,
ἐπηρεασμὸς τὸ κακὸν εἶναί μοι δοκεῖ.
**ΣΩ.** οὐ τοῦ τυχόντος, ὡς ἐμοὶ δοκεῖ, πόνου
τουτὶ τὸ πρᾶγμά ‹γ᾽› ἀλλὰ συντονωτέρου.
πρόδηλόν ἐστιν. ἆρ᾽ ἐγὼ πορεύσομαι
ἐπὶ τὸν Γέταν τὸν τοῦ πατρός; νὴ τοὺς θεοὺς
ἔγωγ᾽· ἔχει ‹τι› διάπυρον καὶ πραγμάτων
ἔμπειρός ἐστιν παντοδαπῶν· τὸ δύσκολον
τὸ τοῦδ᾽ ἐκεῖνος ‹πᾶν› ἀπώσετ᾽, οἶδ᾽ ἐγώ.